# ΑΚΟΛΟΥΘΙΑ

Τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν

# ΛΕΟΝΤΙΟΥ

## Τοῦ Μυροβλύτου καί Διονυσιάτου

*Ἑορτάζοντος τῇ 18ῃ Ἰουνίου*



ΙΕΡΑ ΜΟΝΗ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ

ΙΟΥΝΙΟΣ 1993 - ΟΚΤΩΒΡΙΟΣ 2006

Μνήμη τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν

# ΛΕΟΝΤΙΟΥ

τοῦ Μυροβλύτου καί Διονυσιάτου

Ἀκολουθία ὑπό Γερασίμου Μοναχοῦ Μικραγιαννvίτου ποιηθεῖσα,
κατά Μάρτιον 1949

## ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ :

*Μετά τόν Προοϊμιακόν, τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν τά ἑξῆς προσόμοια τοῦ Ὁσίου.*

***ΗΧΟΣ Α΄ Πανεύφημοι Μάρτυρες***

Πάτερ Λεόντιε Χριστόν, ἐκ παιδός ἠγάπησας,
καί τῆς ψυχῆς σου τήν ἔφεσιν, αὐτῷ ἀνέθηκας·
ὅθεν πολιτείαν τῷ πόθῳ κατάλληλον,
μετῆλθες οὐρανίῳ φρονήματι· καί νῦν ἱκέτευε,
δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν,
τήν εἰρήνην, καί τό μέγα ἔλεος.

Πάτερ Λεόντιε ἡ σή βιοτή ἡ ἔνθεος,
τῶν ἀρετῶν διαλάμπουσα, τοῖς ἀπαυγάσμασιν,
οὐ μόνον ἐν Ἄθῳ, μυστικῶς ἐξέλαμψεν,
ἀλλά καί τήν βλαστήσασαν πόλιν σε ηὔφρανεν ὅσιε·
διά τοῦτο σου τήν κοίμησιν, ἐκτελοῦντες,
Χριστόν μεγαλύνομεν.

Πάτερ Λεόντιε ἠθῶν ἀγαθῶν σεμνότητι
καί ψυχικῇ καθαρότητι, σκεῦος πολύτιμον,
εὐωδίας ὤφθης, τοῦ Ἁγίου Πνεύματος·
διό καί μετά θάνατον Ἅγιε, μύρα πανεύοσμα,
ἐκ τοῦ τάφου σου ἀνέβλυσας,
τάς αἰσθήσεις ἡμῶν κατευφραίνοντα.

*Προσόμοια ἕτερα.*
*Ἦχος ὁ αὐτός. Τῶν οὐρανίων ταγμάτων.*

Σήμερον τέρπεται πόλις τοῦ Ἄργους Ὅσιε,
τήν μνήμην σου τελοῦσα, τήν ἐπέτειον πόθῳ,
ἀλλά καί ἡ ἐν Ἄθῳ σεπτή Μονή
τοῦ Προδρόμου σεμνύνεται,
τῆς μέν γάρ γόνος ὑπάρχεις πανευκλεής,
τῆς δέ φοῖνιξ εὐθαλέστατος.

Τοῖς ἐναρέτοις σου τρόποις καλλωπιζόμενος,
πραότητος δοχεῖον καί χρηστότητος τύπος,
ἐδείχθης θεοφόρε ἀπλάστῳ ψυχῇ,
καί προλέγειν τά μέλλοντα
ἐξ ἐπιπνοίας τῆς Θείας ἀξιωθείς,
πρός Θεόν χαίρων ἀνέδραμες.

Τά τῶν δακρύων σου ρεῖθρα καί οἱ ἱδρῶτες σου,
εἰς μύρα πανευώδη μετημείφθησαν Πάτερ,
τῇ θεία εὐδοκίᾳ· θαῦμα καινόν! Τά ὀστά σου γάρ Ἅγιε,
πηγή ὡράθησαν μύρου πνευματικοῦ,
ὑπεμφαίνοντος τήν χάριν σου.

### *Δ ό ξ α   Ἦχος πλ.Β*

Σήμερον φαιδρῶς ἡμῖν ἀνέτειλεν,
Ἡ τοῦ ὁσίου Λεοντίου μνήμη,
πρός δόξαν καί αἶνον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν,
πάντας συγκαλλοῦσα·
δεῦτε οὖν πνευματικῶς ἑορτάσωμεν,
καί ἐν ἀγαλλιάσει καρδίας, τούτῳ βοήσωμεν·
χαίροις ὁ τῶν πάλαι Ὁσίων ζηλώσας τόν βίον,
καί τῆς ἐκείνων χάριτος κοινωνός γενόμενος.
Χαίροις ὁ τῇ καθαρᾷ σου πολιτείᾳ,
τό μύρον πλουτήσας τῆς ζωῆς,
καί μετά τό τέλος μύρα βλύζειν ἀξιωθείς.
Χαίροις ὁ τοῦ Ἄργους θεοειδής βλαστός,
καί τῆς τοῦ Βαπτιστοῦ εὐαγοῦς Μονῆς, ἱερόν σεμνολόγημα.
Ἀλλ᾽ ὡς τῷ Χριστῷ παρρησίαν ἔχων,
μή παύσῃ πρευσβεύων Πάτερ, ὑπέρ τῶν ψυχῶν ἡμῶν.

### *Κ α ί   ν ῦ ν   ὁ   α ὐ τ ό ς*

Τίς μή μακαρίσει σε Παναγία Παρθένε;
τίς μή ἀνυμνήσει σου τόν ἀλόχευτον τόκον;
Ὁ γάρ ἀχρόνως ἐκ Πατρός ἐκλάμψας Υἱός μονογενής,
ὁ αὐτός ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς,
φύσει Θεός ὑπάρχων,
καί φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς·
οὐκ εἰς δυάδα προσώπων τεμνόμενος
ἀλλ᾽ ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος.
Αὐτόν ἱκέτευε σεμνή παμμακάριστε,
ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τό προκείμενον τῆς ἡμέρας, καί τά ἀναγνώσματα τοῦ Ἁγίου Σάββα (5 Δεκ.).

Εἰς τήν Λιτήν ἰδιόμελα:

*Ἦχος α΄*

Εὐφραίνεται ἐν Κυρίῳ τό Ἄργος Λεόντιε,
ἡ ἐνεγκαμένη σε πόλις, καυχωμένη τοῖς σπαργάνοις σου·
ἐκ γάρ ταύτης ἐβλάστησας, οἷά περ κρίνον εὔοσμον,
καί τῶν ἀρετῶν τήν εὐωδίαν,
ἐν τῇ τοῦ θείου Διονυσίου Μάνδρᾳ ἀσκητικῶς διέπνευσας·
σῶμα γάρ καί ψυχήν ἐκκαθάρας,
ἐμμελείᾳ συντόνῳ, καί ἀενάῳ προσευχῇ,
καί τοῖς λοιποῖς κατά Χριστόν ἄθλοις σου,
τῆς ἐνεργείας τοῦ Πνεύματος, μυροθήκη ἐδείχθης.
Καί νῦν τά ἄνω ἀπολαβών βασίλεια,
ἀδιαλείπτως ἱκέτευε θεοφόρε Πάτερ,
ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

*Ἦχος β΄*

Τῆς κοσμικῆς ἀποστάς συγχύσεως,
τόν σόν σταυρόν ἦρας Πάτερ καί στερροτάτῳ φρονήματι,
Χριστῷ ἠκολούθησας· πρακτικῆς γάρ πολιτείας,
γεωργήσας τούς καρπούς,
τόν γλυκασμόν ἡμῖν ἀποστάζεις,
τῶν ἀοιδίμων καμάτων σου.
Ὡς γάρ ξύλον κατάκαρπον, Δαβιτικῶς διευθήνισας,
ἐν τοῖς ἱδρῶσι τῆς ἀσκήσεως Λεόντιε ὅσιε.

### *Ἦχος γ'*

Τῇ ἀπαθείᾳ ἐμπρέπων, πρᾶος ταπεινός καί μέτριος,
ὡς φωτισμοῦ θείου πλήρης ἀνεδείχθης Ὅσιε·
Ἡ γάρ καθαρότης τοῦ βίου σου,
Καί ἡ εὐθύτης τῶν τρόπων σου,
στηλογραφίαν ἐναρέτου ζωῆς,
καί σκήνωμα Θεοῦ σέ εἰργάσατο·
ἐν σοί γάρ κατοικεῖν ἠρετίσατο,
ὡς ἀψευδῶς ἐπηγγείλατο, ἡ ὁμοούσιος Τριάς Λεόντιε.
Ἧς νῦν τῷ θρόνῳ παρεστώς, σύν τοῖς ἀπ᾽ αἰῶνος Ὁσίοις,
Χάριν ἡμῖν ἐξαίτει καί μέγα ἔλεος.

### *Ἦχος δ'*

Τό μύρον τῆς ζωῆς ἀγαπήσας ἐκ ψυχῆς,
εἰς ὀσμήν αὐτοῦ ἔδραμες,
ὡς ἡ ἀσματίζουσα νύμφη, θεοφόρε Λεόντιε·
ὅθεν τῶν παθῶν τό δυσῶδες ἀπεβδελύξω,
καί τῶν ἀρετῶν τά μύρα ἐν σοί ἐταμιεύσω,
σοφία καί φρονήσει, καί ταπεινοφροσύνῃ δωρεᾷ
καί καθαρότητος κάλλει·
διό καί μετά θάνατον, πλῆρες οὐρανίου μύρου,
τό ἱερόν σου λείψανον ὡράθη,
ὑπέρ τά ἀρώματα τῆς γῆς εὐωδιάζον
καί ἁγιάζον Πάτερ μυστικῶς,
Τούς τό εὐαγές σου τελοῦντας μνημόσυνον.

*Δόξα  Ἦχος ὁ αὐτός*

Τήν ἐν Πνεύματι ζωήν νουνεχῶς πολιτευσάμενος,
τῶν ἀπ᾽αἰῶνος Ὁσίων μιμητής
καί ἰσοστάσιος ἐχρημάτισας Ὅσιε·
θείᾳ γάρ πτερωθείς ἀγάπη,
ἐν ὁσιότητι καί ἀληθείᾳ σεαυτόν κατεκόσμησας,
καί θείαις κεκοσμημένος πράξεσι
καί ποικίλαις τοῦ Πνεύματος χάρισιν,
ἀληθῶς ἐδείχθης μακάριος, θεαρχικῇ εὐδοκίᾳ δοξασθείς·
καί προορᾶν τά ἐσόμενα καί προλέγειν τά μέλλοντα,
ἐκ θείας ἐπιπνοίας ἠξίωσαι.
Καί νῦν ἀνακεκαλυμμένως τῆς θείας δόξης ἐντρυφῶν,
Χριστόν ὑπέρ ὑμῶν ἱκέτευε ἀπαύστως,
Μυροβλύτα πάτερ Λεόντιε.

*Καί νῦν  Θεοτοκίον*

Ἐκ παντοίων κινδύνων τούς δούλους Σου
φύλαττε εὐλογημένη Θεοτόκε,
ἵνα σέ δοξάζομεν,
τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τόν στίχον  στιχηρά προσόμοια*

*Ἦχος πλ. α΄  Χαίροις ἀσκητικῶς*

Χαίροις τῶν μοναστῶν καλλονή,
τῶν ἀρετῶν περιφανές ἐνδιαίτημα,
ἀγάπης θείας δοχεῖον, τῆς ἐγκρατείας λαμπάς,
ταπεινοφροσύνης θεῖον ὄργανον·
ἠθῶν κοσμιότητος χαρακτήρ ἀπαράμιλλος,

φωτός ἀΰλου ἀκηλίδωτον ἔσοπτρον,
στίλβον ἅπασιν ἀπαθείας τήν ἔλλαμψιν·
σκεῦος τό πολυτίμητον, Λεόντιε ὅσιε,
τῶν θεϊκῶν δωρημάτων, προφητικῆς τε ἐμπνεύσεως·
Χριστόν ἐκδυσώπει,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό μέγα ἔλεος.

Στίχος: ***Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου Αὐτοῦ.***

**Χ**αίροις ὁ καθαρός τῇ ψυχῇ
καί τῇ καρδίᾳ καί τῷ σώματι Ὅσιε,
ὁ μύρου τάς ἐνεργείας, πεπλουτηκώς τῆς ζωῆς,
ὥσπερ μυροθήκη θείου Πνεύματος·
ἐντεῦθεν ἀνέβλυσας, ἐκ τοῦ τάφου Λεόντιε,
εὔοσμα μύρα, εὐωδίαν τήν κρείττονα,
πᾶσι νέμοντα καί ψυχάς ἁγιάζοντα,
ὅθεν ὡς μυροβλύτην σε καί θεῖον θεράποντα
τοῦ Βασιλέως τῆς δόξης, ἀσματικῶς μακαρίζομεν,
αἰτοῦντες σε Πάτερ,
τῷ Χριστῷ ἡμᾶς προσάγειν ταῖς ἱκεσίαις σου.

Στίχος: ***Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.***

**Χ**αίροις ὁ Θεοφόρος πατήρ,
τῶν ἐν τῷ Ἄθῳ ἱερόν ἐγκαλλώπισμα,
τό ἄνθος τό πανευῶδες τῆς τοῦ Προδρόμου Μονῆς,
ὀσμήν διαπνέον τήν οὐράνιον·
Τοῦ Ἄργους τό βλάστημα δόξα κλέος καί καύχημα

καί πρέσβυς θεῖος πρός τόν Κύριον Ὅσιε,
καί ἐπίκουρος, ἀρωγός καί ἀντίληψις·
χαίροις τῆς ὑπέρ ἔννοιαν λαμπρότητος μέτοχος,
τῆς αἰωνίου παστάδος ὁ κληρονόμος Λεόντιε·
αὐτῆς Θεοφόρε,
Καί ἡμᾶς μετόχους δεῖξον ταῖς ἱκεσίαις σου.

### *Δόξα Ἦχος πλ. δ΄*

Φερωνύμως Λεόντιε, πεποιθώς ὥσπερ λέων
πρός τό στάδιον τῆς ἀσκήσεως ἔδραμες,
πεφραγμένος ἰσχΰι τῇ ἄνωθεν·
καί τόν ἀεί μαινόμενον καθ᾽ ἡμῶν βύθιον δράκοντα,
εἰς χάος ἐβύθισας τῶν δακρύων σου τοῖς ρεύμασι
καί τοῖς ρείθροις τῶν μύρων σου.
Καί νῦν τῆς ἄνω κλήσεως τό βραβεῖον κομισάμενος,
κληρονόμος μέν Θεοῦ καί συγκληρονόμος Χριστοῦ,
κατά Παῦλον ἐγένου
καί πρεσβεύεις ἀπαύστως ὑπέρ τῶν τιμώντων σε.

### *Καί νῦν Θεοτοκίον*

Δέσποινα πρόσδεξαι τάς δεήσεις τῶν δούλων σου
καί λύτρωσαι ἡμᾶς ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Νῦν ἀπολλύεις ..., τό τρισάγιον καί τό *ἀπολυτίκιον*

## *Ἀπολυτίκιον:*

*Ἦχος δ' Ταχύ προκατάλαβε*

Τοῦ Ἄργους ἀγλάϊσμα, οἷά περ γόνος κλεινός
καί θεῖον γεώργιον τῆς τοῦ Προδρόμου Μονῆς
ἐδείχθης Λεόντιε.
Σύ γάρ δι᾽ ἐναρέτου πολιτείας ἐκλάμψας,
ὤφθης Χριστοῦ θεράπων καί σεπτός μυροβλήτης,
διό σε Πάτερ συμφώνως πάντες γεραίρομεν.

## *Θεοτοκίον*

Τό ἀπ᾽ αἰῶνος ἀπόκρυφον
καί ἀγγέλλοις ἄγνωστον μυστήριον
διά σοῦ Θεοτόκε τοῖς ἐπί γῆς πεφανέρωται,
Θεός ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος
καί σταυρόν ἑκουσίως ὑπέρ ἡμῶν καταδεξάμενος,
δι᾽ οὗ ἀναστήσας τόν πρωτόπλαστον,
ἔσωσεν ἐκ θανάτου τάς ψυχάς ἡμῶν.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ στιχολογίαν ***Κάθισμα.***

*Ἦχος α΄ τόν τάφον σου Σωτήρ*

Ὥς εὔοσμος λειμών ὁ σός βίος ὡράθη ἐν Ἄθῳ νοητῶς,
παναοίδιμε Πάτερ, καί πάντας εὐωδίασεν,
ἀρετῶν σου τοῖς ἄνθεσιν·
ὅθεν σήμερον, τήν σήν Λεόντιε μνήμην, ἑορτάζοντες,
ἐν εὐφροσύνῃ καρδίας, Χριστόν μεγαλύνομεν.

***Θεοτοκίον***

Θεόν ὑπερφυῶς συλλαβοῦσα Παρθένε
ἐκύησας ἡμῖν ἐξ ἁγνῶν σου αἱμάτων,
καί κόσμου τήν κατάκρισιν τῷ σῷ τόκῳ διέλυσας·
ὅθεν πάντες σε , ὡς ἀπαρχήν σωτηρίας μεγαλύνομεν
καί πρός Θεόν ἡμῶν Κόρη οἰκείωσιν Ἄχραντε.

Μετά τήν β΄ στιχολογίαν ***Κάθισμα.***

*Ἦχος γ΄ Θείας πίστεως*

Μύρον ἄϋλον ζωῆς ἁγίας ἐθησαύρησας ἐν τῇ καρδίᾳ,
ἐναρέτοις σου Λεόντιε πράξεσιν·
ὅθεν ὡς θείων χαρίτων ἀλάβαστρον,
Μύρα ἡμῖν ἐκ τοῦ τάφου σου ἔβλυσας. Πάτερ ὅσιε
Χριστόν τόν Θεόν ἱκέτευε δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

## *Θ ε ο τ ο κ ί ο ν*

Μύρον κέκληται Πατρός ὁ Λόγος,
ἀειπάρθενε Θεογενῆτορ,
ἀκενώτως κενωθείς ἐν νηδύϊ σου·
καί σαρκωθείς ἐξ ἀχράντων αἱμάτων σου,
τήν οἰκουμένην ὀσμῆς θείας ἔπλησε·
κόρη Πάναγνε, Αὐτόν ἐκτενῶς ἱκέτευε,
Δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Μετά τόν πολυέλεον ***Κ ά θ ι σ μ α***

*Ἦχος πλ. δ΄. Τήν σοφίαν καί λόγον*

Ἀπό βρέφους ποθήσας τήν ἀρετήν,
πληρωτής ἐνταλμάτων τῶν θεϊκῶν ἐγένου Μακάριε,
καί Χριστῷ ἠκολούθησας,
τήν κοσμικήν ἀπάτην σοφῶς βδελυξάμενος
καί σεαυτόν δοχεῖον τελέσας τοῦ Πνεύματος·
ὅθεν ἐπιπνοίας ἠξιώθης ἁγίας, προβλέπειν τά μέλλοντα
καί προλέγειν σαφέστατα, θεοφόρε Λεόντιε.
Πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
Τοῖς ἑορτάζουσι πόθῳ τήν ἁγίαν μνήμην σου.

*Θ ε ο τ ο κ ί ο ν*

Τῶν Ἀγγέλων ἡ δόξα καί ἡ τρυφή ,

τῶν ἀνθρώπων δέ θεία καταφυγή, ἐδείχθης Πανάμωμε

ὡς Θεοῦ μήτηρ ἄφθορος·

διό καμέ φθαρέντα, δεινοῖς ἀτοπήμασι,

καί τοῖς τοῦ βροτοκτόνου, ὑπείκοντα νεύμασι,

σπεῦσον Θεοτόκε καί τῆς τούτου κακίας

ἀπάλλαξον δέομαι καί Θεῷ με οἰκείωσαι,

μητρικῇ ἱκεσίᾳ σου,

ὡς ἂν ἐν μετανοίᾳ θερμῇ, τό τοῦ βίου τελέσω ὑπόλοιπον,

καί τῆς ἄνω εὐκλείας γενήσωμαι μέτοχος.

Τό α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καί τό προκείμενον:

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος: Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Εὐαγγέλιον ὁσιακόν. Ὁ ν΄ ψαλμός.

*Δ ό ξ α . Ταῖς τοῦ σοῦ Ὁσίου...* *Κ α ί ν ῦ ν . Ταῖς τῆς Θεοτόκου...*

*Ἰ δ ι ό μ ε λ ο ν* *Ἦχος πλ. β΄*

Στίχ. Ἐλέησόν με ὁ Θεός ...

Πάτερ Λεόντιε εἰς ὀσμήν γραφικῶς μύρων τοῦ Χριστοῦ

δραμών ἐν τῷ βίῳ σου, ὑπέρ πάντα τά ἀρώματα

τήν μυρίπνοον χάριν ἐν σοί ἐπλούτησας.

Φιάλαι γάρ ἀρωμάτων μυστικῶν αἱ σιαγόνες σου ὤφθησαν

καί ὀσμή τῶν ὀστῶν σου ὡς ὀσμή ἀγροῦ πλήρους

πρός εὐφροσύνην τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ κανόνες τῆς Θεοτόκου καί τοῦ Ἁγίου.

***Κανών τοῦ Ἁγίου*** οὗ ἡ ἀκροστιχίς:

Λεοντίῳ μέλισμα τῷ μυρορρόᾳ.

Γερασίμου.

***Ὠδή α΄ Ἦχος δ΄ Ἀνοίξω τό στόμα μου.***

Λεόντιον Δέσποτα, τόν εὐκλεῆ σου θεράποντα
ὑμνῆσαι προθέμενος, τήν σήν ἀντίληψιν,
συνεργῆσαι μοι τῷ λόγῳ ἱκετεύω,
Καί μέλψω γηθόμενος, τούτου τήν ἄσκησιν.

Ἐκ βρέφους ἐπόθησας κρείττονα βίον Λεόντιε,
καί πάντων ἐμάκρυνας, τῶν ἐν τῷ κόσμῳ τερπνῶν·
Θείῳ φόβῳ γάρ, τόν νοῦν σου καθηλώσας,
σαρκός κατεμάρανας Πάτερ τό φρόνημα.

Ὁσίων τοῖς ἴχνεσι, Πάτερ τῶν πάλαι ἑπόμενος,
αὐτῶν καί τῆς χάριτος, ὤφθης συμμέτοχος·
ἐγκρατείᾳ γάρ, τόν νοῦν ἀποκαθάρας,
δοχεῖον ἐπάξιον ὤφθης τοῦ Πνεύματος.

***Θεοτοκίον***

Ναός φωτοστόλιστος καί φωτοφόρον παλάτιον
Θεοῦ ἐχρημάτισας τοῦ σαρκωθέντος ἐκ σοῦ·
Ὅν ἱκέτευε ναούς ἡμᾶς τελέσαι,
Παρθένε Πανάμωμε, τῆς θείας χάριτος.

*Ὠ δ ή γ΄ Τούς σούς ὑμνολόγους.*

Τρωθείς ἀγαπήσει Πάτερ θείᾳ,
κατέλιπες κόσμου τήν ἀχλύν,
καί ὡς διψῶσα ἔλαφος προσέδραμες τῷ Ἄθωνι,
καί τῇ Μονῇ ἐσκήνωσας Διονυσίου τοῦ μάκαρος.

Ἱδρῶσιν ὁσίων παλαισμάτων,
καί ὄμβροις δακρύων σου σοφέ,
παθῶν τήν φλόγα ἔσβεσας, καί τόν πυρσόν Λεόντιε,
ἀντεκομίσω ἄνωθεν, τῆς θεϊκῆς ἐπιλάμψεως.

Ὡς μύρον ἐπί τῆς κεφαλῆς σου,
καί δρόσος σοφέ τοῦ Ἀερμών,
Ἡ χάρις ἡ τοῦ Πνεύματος, κατερχομένη ἄνωθεν,
μύρων καινῶν σέ ἔπλησε καί μυροβλύτην σέ ἔδειξε.

*Θ ε ο τ ο κ ί ο ν*

Μυρίπνοον σκεῦος πανευῶδες, καί γῆ μυροφόρος λογική,
ἐδείχθης ὑπερύμνητε, μύρον τό ζῶν χωρήσασα·
διό κἀμοῦ ἀπέλασον τήν δυσωδίαν τοῦ χείρονος.

*Ὁ Ε ἱ ρ μ ό ς*

Τούς σούς ὑμνολόγους Θεοτόκε,
ὡς ζῶσα καί ἄφθονος πηγή,
θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον·
καί ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

***Κ ά θ ι σ μ α  Ἦχος πλ. α´  Τόν συνάν*αρχον Λόγον.

Τόν ἐνάρετον βίον πολιτευσάμενος,

χαρισμάτων τῶν θείων ὤφθης ἀνάπλεως,

καὶ μετέστης πρός Θεόν ἐν δόξῃ Ὅσιε,

τῶν αἰωνίων ἀγαθῶν κληρονόμος γεγονώς

Λεόντιε μυροβλύτα·

ἀλλά μή παύσῃ πρεσβεύων, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

***Θ ε ο τ ο κ ί ο ν***

Ἐξ ἁγνῶν σου αἱμάτων σάρκα προσείληφεν,

ὁ ὑπερούσιος Λόγος καί ἀπερίγραπτος,

οὐσιωθείς τό καθ᾽ ἡμᾶς δι᾽ ἀγαθότητα,

καί ἀνώρθωσεν αὐτό, δι᾽ ἀρχαίαν συντριβήν,

ὁ μόνος δεδοξασμένος·

Ὅν ὡς υἱόν σου δυσώπει, ὑπέρ ἡμῶν, Παρθένε ἄχραντε.

***Ὠ δ ή  δ´  Ὁ καθήμενος ἐν δόξῃ.***

Ἐγκρατείᾳ ἀνενδότῳ καί συντόνοις δεήσεσι,

Πάτερ διαπρέπων, ὤφθης ταπεινώσεως σκήνωμα,

καί τῆς πραότητος θεία ὑποτύπωσις,

ψάλλων Ὅσιε· δόξα Χριστέ τῇ δυνάμει σου.

Λειμών ἔμπνους ἀπαθείας, ὤφθης Πάτερ Λεόντιε,

ὄντως καί μυρίπνους κῆπος κεκλεισμένος τῆς χάριτος,

τῶν ἀρετῶν ἄνθη φέρων τά ἡδύπνοα,

Τήν οὐράνιον, ὀσμήν ἡμῖν διαπνέοντα.

Ἰδού ὅλη καλή πέλεις, ἰδού ὅλη μυρίπνοος,
ὁ νυμφίος Λόγος, κράζει τῇ ψυχῇ σου Λεόντιε,
ἀνάστα δεῦρο πλησίον μου καί εἴσελθε,
εἰς τόν οἶκον μου, εἰς οἶκον νάρδου ὡς γέγραπται.

*Θεοτοκίον*

Σαρκοφόρον τετοκυῖα τοῦ Πατρός τό ἀπαύγασμα,
Κεχαριτωμένη, πάγχρυσος λυχνία ἑπτάφωτος,
ὡς ἀληθῶς ἀνεδείχθης, φωταυγίζουσα αἴγλην ἄϋλον,
ἐν ταῖς ψυχαῖς τῶν τιμώντων σε.

*Ὠδή ε΄ Ἐξέστη τά σύμπαντα.*

Μαράνας Λεόντιε τά τῆς σαρκός σκιρτήματα,
τῇ Θεοειδῇ σου πολιτείᾳ,
δένδρον ἐδείχθης πεφυτευμένον καλῶς,
ὕδασι τῶν θείων ἀρετῶν,
τούς καρπούς τοῦ Πνεύματος προβαλλόμενον ἅπασι.

Ἁπλότητι τρόπων σου καί βίου καθαρότητι,
λάμπων ὡς λαμπάς ὁσίων ἔργων,
τῇ τοῦ ὁσίου Διονυσίου Μονῇ
ὤφθης τῶν ἐν ταύτῃ Μοναστῶν,
Τύπος καί παράδειγμα πρός τά κρείττονα Ὅσιε.

Τό φῶς εἰσδεξάμενος τοῦ Παρακλήτου Ὅσιε,
τῇ καθαρωτάτῃ σου καρδίᾳ,
καθηγιάσθης καί ἐλαμπρύνθης τόν νοῦν,
καί τά πόρρω οἷά περ ἐγγύς
βλέπων προηγόρευες ἐμφανῶς τά ἐσόμενα.

*Θεοτοκίον*

Ὡραία καί πάγκαλος τῷ πάντων Βασιλεύοντι,
ὤφθης ὡς τό Ἆσμα σε προγράφει ,
εὐλογημένη Θεοχαρίτωτε,
καί τέτοκας Τοῦτον ὑπέρ νοῦν,
κόσμον ὡραΐζοντα φωτισμῷ θείας γνώσεως.

*Ὠδή στ΄ Τήν θείαν ταύτην.*

Μύρον σοφέ τό Ζωήρρυτον,
ἐν τῇ καθαρωτάτῃ καρδίᾳ σου πιστῶς δεξάμενος,
μύρα καινά ἐκ τοῦ τάφου σου,
ὡς μυροχεύμων κρήνη Πάτερ ἐπήγασας.

Ὕπνον οὐκ ἔδωκας Ὅσιε,
ὡς γέγραπται οὐδόλως σοῖς ὄμμασιν, ἕως οὗ σκήνωμα,
σαυτόν Θεοῦ ἀπετέλεσας·
ἐν σοί γάρ ὁ Δεσπότης ἐπανεπαύσατο.

Ρώμῃ τῇ θείᾳ ρωννύμενος,
κατέβαλλες Λεόντιε Ὅσιε τόν ὠρυόμενον,
Καθ᾽ ἡμῶν οἷά περ λέοντα,
Καί στέφος ἀφθαρσίας θεόθεν εἴληφας.

### *Θεοτοκίον*

Ὄρος Θεοῦ ἐμφανέστατον
καί πῖον καί δασύ καί κατάσκιον, Σέ προηγόρευσαν,
οἱ θεηγόροι Πανάμωμε·
ἐκ σοῦ γάρ κόσμῳ, ὤφθη ὁ ὑπερούσιος.

### *Ὁ Εἱρμός*

Τήν θείαν ταύτην καί πάντιμον,
τελοῦντες ἑορτήν οἱ θεόφρονες τῆς Θεομήτορος,
δεῦτε τάς χεῖρας κροτήσωμεν,
τόν ἐξ αὐτῆς τεχθέντα Θεόν δοξάζοντες.

### *Κοντάκιον Ἦχος γ΄ Ἡ Παρθένος σήμερον.*

Τῷ Σωτῆρι Ὅσιε ἀκολουθήσας ὁσίως,
σεαυτόν καθήγνισας δι᾽ ἀρετῶν ἐμμελείας·
ὅθεν σε ὁ Ζωοδότης Λόγος δοξάσας,
ἔδειξε πηγήν τό σκῆνος σου θείου μύρου·
διά τοῦτο σοι βοῶμεν· χαίροις θεόφρον πάτερ Λεόντιε.

### *Ὁ οἶκος*

Ἀπό νεότητος σοφέ Χριστῷ ἠκολούθησας, κόσμου ἀπώσῳ τά τερπνά καί ἀπηρνήσῳ σεαυτόν φρονήματι τελείῳ· διό καί τῆς ἐνεγκαμένης σε μεταναστεύσας πόλεως, τό τοῦ Ἄθωνος Ὄρος κατέλαβες, καί τῇ τοῦ Βαπτιστοῦ θείᾳ Μάνδρᾳ ὡς πρόβατον σεπτόν κατεσκήνωσας· ἔνθα τῆς χλόης τῆς ζωῆς καί πόας τῆς ἀειθαλοῦς ἀσκητικῶς τρυφήσας, πρός Μάνδραν τήν οὐράνιον καί τάς τῶν Ἁγίων λαμπρότητας ἐν χαρᾷ εἰσήλασας· διό σε ὁ μέγας Ποιμήν δοξάζων μυροβλύτην σε θεῖον ἔδειξε, μύρα εὔοσμα ἐκ τῶν ὀστέων βλύσαντα τοῖς βοῶσι· χαίροις θεόφρον πάτερ Λεόντιε.

*Συναξάριον*

Τῇ **ιη΄** τοῦ αὐτοῦ μηνός μνήμη τοῦ ὁσίου καί θεοφόρου πατρός ἡμῶν **Λεοντίου τοῦ μυροβλύτου** τοῦ ἐξ Ἄργους μέν τῆς Πελοποννήσου καταγομένου, ἐν δέ τῇ κατά τόν ἁγιώνυμον Ἄθω Μονῇ τοῦ Ὁσίου Διονυσίου, τῇ τῷ Βαπτιστῇ Ἰωάννῃ ἀφιερωμένῃ, ἀσκητικῶς διαπρέψαντος.

Στίχος. Τά μύρα βλύζειν ὦ Λεόντι᾿ ἐκ τάφου

καθαρότητος σῆμα ἐστί σῆς ἄκρας.

Ὀγδοάτῃ δεκάτῃ μυροέντα Λεόντιον ὗδω.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστέ ὁ Θεός ἐλέησον καί σῶσον ἡμᾶς . Ἀμήν.-

*Ὠδή ζ΄* Οὐκ ἐλάτρευσαν .

Ρήσεις Ὅσιε τάς θείας ἐκπεπλήρωκας,
πρᾶος γάρ γέγονας καί καθαρός τήν ψυχήν·
ἐντεῦθεν κατέλαβες τήν τῶν πραέων γῆν, καί δεδόξασαι,
θεουργικῶς Λεόντιε μετοχῇ τῇ ὑπέρ λόγον.

Ροῦν ψυχόλεθρον παθῶν ξηράνας Ὅσιε,
δακρύων ρεύμασι τῆς ἀπαθείας σαφῶς,
τό ὕδωρ ἀνέβλυσας, καί μύρα εὔοσμα, ἐκ τοῦ τάφου σου,
Ἡμῶν ἀρωματίζοντα τάς αἰσθήσεις τῆς καρδίας.

Ὅλος ἔνθεος ὡρᾶσο τοῖς ὑμνοῦσι σε,
ὡς ἱλαρώτατος καί πλήρης θείου φωτός,
καί πάντας ἐπαίδευες λόγοις καί πράξεσι, θερμῶς ἔχεσθαι
τῶν οὐρανίων Ὅσιε, ὡς μονίμων καί ἑστώτων.

### *Θεοτοκίον*

Ἀειπάρθενε, Θεόν ἡ σωματώσασα, ὑπέρ κατάληψιν,
σωματικῶν με παθῶν, καί πάσης φαυλότητος,
τῆς κατά νοῦν καί ψυχήν, ἀποκάθαρον,
Καί τῷ φωτί με, λάμπρυνον μετανοίας τῆς γνησίας.

### *Ὠδή η΄ Παίδας εὐαγεῖς.*

Γνώμῃ οὐρανόφρονι καί θείᾳ,
τόν βίον σου θεοφρόνως ἐξετέλεσας,
ἐγκλείστως Λεόντιε, ἐν πένθει τε καί δάκρυσι,
καί παννυχίοις στάσεσι, καί ταπεινώσει πολλῇ,
Μονῇ τῇ εὐαγῇ τοῦ Προδρόμου,
ὅθεν μετετέθης, πρός δόξαν τήν ἀγήρω.

Ἔχων σου τόν νοῦν κεκαθαρμένον,
προέβλεπες ὡς παρόντα τά ἐσόμενα·
ὅθεν καί προείρηκας τήν σήν πρός Κύριον,
μετάστασιν Λεόντιε, τοῖς ἀδελφοῖς ἐμφανῶς,
καί χαίρων πρός τάς ἄνω σκηνώσεις,
ἔνθα τῶν Ὁσίων ἀνέδραμες χορεῖαι.

Ρήμασι σεπτοῖς σου θεοφόρε,
προήγγειλας ἐν Ἁγίῳ Πνεύματι,
τήν τοῦ σκευοφύλακος, φίλου σου ἀνάλυσιν,
πρός τόν Θεόν Λεόντιε· ᾧ καί ἐκραύγαζες·
τόν Κύριον ὑμνεῖτε τά ἔργα
καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

*Θ ε ο τ ο κ ί ο ν*

Ἄφλεκτος τεκοῦσα ἐφυλάχθης
τό πῦρ Θεοτόκε τῆς Θεότητος·
Λόγος γάρ ὁ σύνθρονος τοῦ Πατρός σεσάρκωται,
ἐκ σοῦ δι᾽ ἀγαθότητα· ἀλλά κατάφλεξον
πυρί τῶν πρεσβειῶν σου Παρθένε,
τήν ἐν τῇ ψυχῇ μου τῆς ἁμαρτίας ὕλην.

*Ὁ Ε ἱ ρ μ ό ς*

Παίδας εὐαγεῖς ἐν τῇ καμίνῳ,
ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος·
νῦν δέ ἐνεργούμενος, τήν οἰκουμένην ἅπασαν,
ἀγείρει ψάλλουσαν. Τόν Κύριον ὑμνεῖτε τά ἔργα,
καί ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.

*Ὠ δ ή  θ΄   Ἅπας γηγενής.*

Στέφος εὐπρεπές, θεόθεν ἀπείληφας ἀγωνισάμενος
κατά τοῦ ἀλάστορος, καί καταλύσας αὐτοῦ τό φρύαγμα,
καί τῆς ζωῆς τετύχηκας τοῦ ξύλου Ὅσιε,
ἀπολαύων ἅμα τῆς θεώσεως
καί πρεσβεύων ὑπέρ τῶν τιμώντων σε.

Εἶδον τό σεπτόν καί Ἅγιον σῶμα σου οἱ συμμονάζοντες,
ὅσιε Λεόντιε, ὑπέρ κατάληψιν βλύζον πάντοθεν,
μύρα καινά καί εὔοσμα καί ἐξεπλάγησαν
τήν δοθεῖσαν χάριν σοι θεόληπτε,
ὑπό Χριστοῦ τοῦ λαμπρῶς σε δοξάσαντος.

Μύρου τῆς ζωῆς, δοχεῖον ὑπέρτιμον Πάτερ γενόμενος,
βίου καθαρότητι, ἀρωματίζεις ἡμᾶς ἑκάστοτε,
τῇ εὐωδίᾳ Ὅσιε τῶν θείων μύρων σου,
καί πρός μύρα διεγείρεις ἅπαντας
ἀρετῶν τῇ ὀσμῇ τῆς σῆς χάριτος.

Ὅρμῳ γαληνῷ, προσώρμισαι Ὅσιε ὑπερνηξάμενος,
τό τοῦ βίου πέλαγος καί ἠριθμήθης Ἁγίων τάξεσιν·
ἀλλά κἀμοῦ Λεόντιε τόν ὕμνον πρόσδεξαι,
ἐξ ἀνάγνων χειλέων καί πλῦνον με
τοῖς σοῖς μύροις ἐκ πάσης φαυλότητος.

*Θεοτοκίον*

Ὕψωσον Ἁγνή,
ἐκ λάκκου συμπτώσεων καί παραπτώσεων,
τήν ψυχήν μου δέομαι, καταπεσοῦσαν ταῖς παραβάσεσι,
Καί τήν καρδίαν κάθαρον ἐκ φαύλων πράξεων,
τόν δέ νοῦν μου μετανοίᾳ λάμπρυνον,
ὡς ἂν Κόρη σωθείην τῇ σκέπῃ σου.

*Ὁ Εἱρμός*

Ἅπας γηγενής σκιρτάτω τό πνεύματι λαμπαδουχούμενος·
πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα,
τήν ἱεράν πανήγυριν τῆς Θεομήτορος, καί βοάτω·
Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή ἀειπάρθενε.

*Ἐξαποστειλάριον* Τοῖς μαθηταῖς συνέλθωμεν.

Τοῦ μύρου τήν ἐνέργειαν, τῆς ζωῆς τῆς ἀΰλου,
δι᾽ ἄκρας καθαρότητος θεοφόρε πλουτήσας,
ἔμπνουν ἀλάβαστρον ὤφθης οὐρανίων χαρίτων
καί μυροθήκη ἔμψυχος τῆς Ἁγίας Τριάδος, ὡς ἀληθῶς·
ὅθεν μύρα εὔοσμα παραδόξως,
Λεόντιε μακάριε, ἐκ τοῦ σκήνους σου βλύζεις.

*Θεοτοκίον*

Ὑπερφυῶς Πανάμωμε, τόν τῶν ὅλων Δεσπότην
ἐκ τῶν ἁγνῶν αἱμάτων σου, ἔτεκες σαρκωθέντα,
δίχα φυρμοῦ καί τροπῆς τε, ἐν δυσί ταῖς οὐσίαις,
Μιᾷ τῇ ὑποστάσει δέ, Κόσμον σώζοντα κόρη ἐκ τῆς φθορᾶς
Ὃν δυσώπει πάντοτε Θεοτόκε,
ὑπέρ ἡμῶν δεόμεθα, τῶν πιστῶς σε αἰνούντων.

*Εἰς τούς Αἴνους* ἱστῶμεν στίχους δ´
καί ψάλλομεν τά ἑξῆς προσόμοια τοῦ Ἁγίου:

*Ἦχος δ´ Ὡς γενναῖον ἐν Μάρτυσι.*

Ἐκ νεότητος Ὅσιε, τῷ Χριστῷ ἠκολούθησας,
καί αὐτοῦ πεπλήρωκας τά προστάγματα,
ὅθεν τῆς δόξης τῆς κρείττονος, ἐγένου συνόμιλος,
καί Ἁγίων τῆς χαρᾶς, κοινωνός καί συμμέτοχος·
μεθ᾽ ὧν πρέσβευε, ἐκ φθορᾶς καί κινδύνων λυτρωθῆναι,
τούς ἐν πίστει ἐκτελούντας τήν παναοίδιμον μνήμην σου.

Τόν ὡς ἄγριον λέοντα, καθ᾽ ἡμῶν ὠρυόμενον,
ἀσθενείᾳ φύσεως, καταβέβληκας,
καί τά αὐτοῦ πανουργεύματα, στερρῶς ἐθριάμβευσας,
ἐΚ Θεοῦ δυναμωθείς θεοφόρε Λεόντιε·

ὅθεν ἔλαβες οὐρανόθεν τῆς νίκης τούς στεφάνους
καί πρεσβεύεις ὑπέρ πάντων
Τῶν ἐκτελούντων τήν μνήμην σου.

Τό τοῦ Ἄργους ἐκβλάστημα καί σεπτόν ἐγκαλλώπισμα,
τόν σοφόν Λεόντιον μακαρίσωμεν,
Ὄρους τοῦ Ἄθω τό σέμνωμα, μονῆς τοῦ Προδρόμου δέ,
θρέμμα τό πνευματικόν καί ἀνάστημα ἔνθεον,
τόν ἐκβλύσαντα, παραδόξως τά μύρα ἐκ τοῦ τάφου,
καί παθῶν τήν δυσωδίαν, χάριτι θείᾳ διώκοντα.

Ἐξεπλάγησαν ἅπαντες, κατιδόντες Λεόντιε,
τό σεπτόν σου λείψανον βλῦζον πάντοτε,
ἐπιφοιτήσει τοῦ Πνεύματος, ὡς κρήνη θεόβρυτος,
μύρου θείου προχοάς καί Χριστόν ἐμεγάλυναν
τόν δοξάσαντα, τόν ἐνάρετον βίον σου θεόφρον·
Ὅν ἱκέτευε σωθῆναι τούς εὐλαβῶς σε γεραίροντας.

*Δόξα Ἦχος πλ. α΄*

Ὅσιε Πάτερ, τήν ἀγγελικήν πολιτευσάμενος ζωήν,
ἐν ὁσιότητι καί δικαιοσύνῃ τῷ Σωτῆρι ἐλάτρευσας·
τῷ γάρ θείῳ θελήματι πάντα τά σά ἀναθέμενος,
ἐργάτης δόκιμος τῆς ἀρετῆς ἐδείχθης,
καί τῆς ἄνω βασιλείας τό δηνάριον ἔλαβες.
Ἀλλ᾽ ὡς τῶν ἀπ᾽ αἰῶνος ὁσίων κοινωνός,
θεοφόρε Λεόντιε, μή διαλίπῃς σύν αὐτοῖς πρεσβεύων,
ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

### *Καί νῦν Θεοτοκίον*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε,
καί δοξάζομέν σε οἱ πιστοί κατά χρέος,
τήν πόλιν τήν ἄσειστον, τό τεῖχος τό ἄρρηκτον
Τήν ἀρραγῆ προστασίαν καί καταφυγή τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καί ἀπόλυσις.



Εἰς τήν λειτουργίαν τά συνήθη. Ἀπόστολος καί Εὐαγγέλιον τοῦ Ἁγίου Σάββα.

***Κοινωνικόν**: εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.*

### *Μεγαλυνάριον*

Χαίροις ὁ τοῦ Ἄργους θεῖος βλαστός,
καί Διονυσίου τοῦ Ὁσίου ὁ μιμητής,
χαίροις εὐωδία τῶν μοναστῶν τοῦ Ἄθω,
ὅσιε μυροβλύτα πάτερ Λεόντιε.

Δίστιχον:
Γεράσιμος μέλπει σου ὦ μυροβλύτα
μύρου τήν εὔπνοιαν καί βίου τήν χάριν. Γ.Μ.

## *Ἀπολυτίκιον*
### *Ἦχος δ΄ Ταχύ προκατάλαβε*

Τοῦ Ἄργους ἀγλάϊσμα, οἷά περ γόνος κλεινός
καί θεῖον γεώργιον τῆς τοῦ Προδρόμου Μονῆς
ἐδείχθης Λεόντιε.
Σύ γάρ δι᾽ ἐναρέτου πολιτείας ἐκλάμψας,
ὤφθης Χριστοῦ θεράπων καί σεπτός μυροβλήτης,
διό σε Πάτερ συμφώνως πάντες γεραίρομεν.

## *Κοντάκιον*
### *Ἦχος γ΄ Ἡ Παρθένος σήμερον.*

Τῷ Σωτῆρι Ὅσιε ἀκολουθήσας ὁσίως,
σεαυτόν καθήγνισας δι᾽ ἀρετῶν ἐμμελείας·
ὅθεν σε ὁ Ζωοδότης Λόγος δοξάσας,
ἔδειξε πηγήν τό σκῆνος σου θείου μύρου·
διά τοῦτο σοι βοῶμεν· χαίροις θεόφρον πάτερ Λεόντιε.

